ἢ θυμόν; ἢ, τὰ καλὰ μὲν, ἑκουσίως· τὰ δ' A αἰσχρὰ, ἀκουσίως; ἢ γελοῖον, ἑνός γε αἰτίου ὄντος; ἄτοπον δὲ ἴσως, τὸ ἀκούσια φάναι, ὧν δεῖ ὀρέγεσθαι. δεῖ δὲ καὶ ὀργίζεσθαι ἐπί τισι, καὶ ἐπιθυμεῖν τινῶν· οἷον ὑγιείας καὶ μαθήσεως. δοκεῖ δὲ, τὰ μὲν ἀκούσια, λυπηρὰ εἶναι· τὰ δὲ κατ' ἐπιθυμίαν, ἡδέα. ἔτι δὲ, τί διαφέρει τῷ ἀκούσια εἶναι τὰ κατὰ λογισμὸν ἢ θυμὸν ἁμαρτηθέντα; φευκτὰ μὲν γὰρ ἄμφω. δοκεῖ B δὲ οὐχ ἧττον ἀνθρωπικὰ εἶναι τὰ ἄλογα πάθη. αἱ δὲ πράξεις τοῦ ἀνθρώπου, ἀπὸ θυμοῦ καὶ ἐπιθυμίας. ἄτοπον δὴ τὸ τιθέναι ἀκούσια ταῦτα.

Κεφάλαιον δ.

Διωρισμένων δὲ τοῦ τε ἑκουσίου καὶ τοῦ ἀκουσίου, περὶ προαιρέσεως ἕπεται διελθεῖν· οἰκειότατον γὰρ εἶναι δοκεῖ τῇ ἀρετῇ καὶ μᾶλλον τὰ ἤθη κρίνειν τῶν πρά- C ξεων· ἡ προαίρεσις δὴ, ἑκούσιον μὲν φαίνεται· οὐ ταὐτὸν δὲ, ἀλλ' ἐπὶ πλέον τὸ ἑκούσιον· τοῦ μὲν γὰρ ἑκουσίου, καὶ παῖδες καὶ τὰ ἄλλα ζῷα κοινωνεῖ· προαιρέσεως δ', οὔ. καὶ τὰ ἐξαίφνης, ἑκούσια μὲν λέγομεν· κατὰ προαίρεσιν δ' οὔ. οἱ δὲ λέγοντες αὐτὴν, ἐπιθυμίαν, ἢ θυμὸν, ἢ βούλησιν, ἤ τινα δόξαν, οὐκ ἐοίκασιν ὀρθῶς λέγειν· οὐ γὰρ κοινὸν ἡ D προαίρεσις καὶ τῶν ἀλόγων· ἐπιθυμία δὲ, καὶ θυμός. καὶ ὁ ἀκρατὴς, ἐπιθυμῶν μὲν, πράττει· προαιρούμενος δὲ, οὔ· ὁ ἐγκρατὴς δ' ἀνάπαλιν, προαιρούμενος μὲν, ἐπιθυμῶν δ' οὔ. καὶ προαιρέσει μὲν ἐπιθυμία ἐναντιοῦται· ἐπιθυμία δ' ἐπιθυμίᾳ οὔ· καὶ ἡ μὲν ἐπιθυμία, ἡδέος καὶ ἐπιλύπου· ἡ προαίρεσις δ', οὔτε λυπηροῦ, οὔθ' ἡδέος· θυμὸς δ' ἔτι, ἧττον. ἥκιστα γὰρ τὰ διὰ θυμὸν, E κατὰ προαίρεσιν εἶναι δοκεῖ. ἀλλὰ μὴν οὐδὲ βούλησίς γε· καίπερ σύνεγγυς φαινόμενον· προαίρεσις μὲν γὰρ οὐκ ἔστι τῶν ἀδυνάτων· καὶ εἴ τις φαίη προαιρεῖσθαι, δοκοίη ἂν ἠλίθιος εἶναι· βούλησις δ' ἐστὶ τῶν ἀδυνάτων, οἷον ἀθανασίας. καὶ ἡ μὲν βούλησίς ἐστι καὶ περὶ τὰ μηδαμῶς δι' αὑτοῦ πραχθέντα ἄν· οἷον, ὑποκριτήν τινα νικᾶν, F ἢ ἀθλητήν· προαιρεῖται δὲ τὰ τοιαῦτα οὐδεὶς, ἀλλ' ὅσα οἴεται ἂν γενέσθαι δι' αὑτοῦ. ἔτι δ', ἡ μὲν βούλησις, τοῦ τέλους ἐστὶ μᾶλλον· ἡ δὲ προαίρεσις, τῶν πρὸς τὸ τέλος· οἷον, ὑγιαίνειν βουλόμεθα, προαιρούμεθα δὲ

an honeſta ſponte, turpia inuiti agemus? An id ridiculum exiſtimandum eſt, cùm vna cauſa vtrorumque ſit? Abſurdum fortaſſe etiam eſt, inuita ea eſſe dicere, quæ oportet appetere, oportet autem & ob aliqua iraſci, & nonnulla appetere, vt ſanitatem,& diſciplinam,videntúrque ea quæ inuita ſunt, moleſta: quæ ex cupiditate fiunt,iucunda eſſe. Præterea quid intereſt inter ea quæ ex ratione, aut ex ira peccamus,ad hoc vt inuiti feciſſe videamur? fugienda enim ambo ſunt: videntúrque irrationales affectus nihilominus humani eſſe: actioneſque ipſius hominis ab ira, & cupiditate proficiſcuntur: vt abſurdum ſit inuita hæc exiſtimare.

CAPVT IIII.

CVm quid ſit ſpontaneum, quidq́ue inuitum definiuerimus: ſequitur vt de electione iam diſſeramus: quippe quæ & virtuti maximè eſſe affinis,& magis quàm actiones mores ipſos iudicare videatur. Electio verò ſpontaneum quoddam eſſe apparet: non idem tamen prorſus eſt. ſpontaneum enim latius patet: nam & ſpontaneum cum pueris & reliquis animalibus commune eſt, electio minimè:& quæ de improuiſo fiunt, ſpontanea ſunt, non autem ex electione. Qui verò eam vel cupiditatem, vel iram, vel voluntatem, vel opinionem quandam eſſe affirmant, non rectè dicere videntur: electio enim non eſt communis nobis cum brutis,ſed cupiditas & ira, eſt. Et incontinens cum cupiditate quidem agit, non tamen cum electione:continens contrà cum electione,& non cum cupiditate. Adde quòd electioni cupiditas aduerſatur: cupiditas autem cupiditati minimè. Cupiditas præterea iucundi & moleſti eſt: electio neque iucundi, neque moleſti. Sed ira quoque eſſe multo minus videtur: minimè enim quæ ex ira fiunt,ex electione facta eſſe exiſtimantur. At verò neque voluntas vllo modo eſt:licet proxima ei eſſe videatur. electio ſi quidē eorū minimè eſt, quæ fieri non poſſunt: quæ ſiquis diceret ſe eligere, ſtolidus eſſe videretur: voluntas verò eſt,vt immortalitatis: volūtas præterea eſt eorū etiam,quæ nullo modo ab eo qui vult, agi queunt: vt hiſtrionem aliquē,aut athletā victorem euadere. cuiuſmodi ſanè nihil quiſpiam eligit, ſed ea ſolummodo quæ ex ſeſe fieri poſſe exiſtimauerit.voluntas preterea finis magis eſt: electio verò eorum,quæ ad finem ſpectāt. vt, ſani eſſe volumus: eligimus verò ea,